## ΤΟ ΒΑΣΙΛΙΚΟΝ ΠΕΡΙΒΟΛΑΙΟΝ.

(Le manteau Impérial.)

—

Ἠ; πέ`ει ἐργασίη τέρψις καὶ μοῦνα μέμηλε
  ληΐζεσθ' ἃ Ζεὺς αἴθριος ἁβρὰ χέει,
Ὦ φυγάδες πρὸς Ἀπελλαίου, ὦ κλέπτιδες ὀδμῆς
  ἀνθεμίων, ἵναπερ στάγμα βροτοῖσιν ἔῃ,
Ἁγναὶ ἱεροφλυγες, θαλερὴ αἵ ἠΰτε νύμφη
  φοιτᾶτ' εἰς βήσσας, λε΄ρια μείλιχ' ἰδεῖν,
Ἠοῦς θυγατέρες καλύκων τε ξουθαὶ ἀδελφαί,
  σοῦσθέ νυν ἐκ τούτου φάρεος ὠκυπετεῖς.
Μισοπόλει δὲ, σοφαί, κρατερῶς μάρνασθε φονῆϊ,
  κρήγυοι, αἰδοῖαι, τἀγαθὸν ᾗσι φίλον·
Ἀμφί σίνιν δ' ὀρχεῖσθε, ῥοδοπτέρυγες, φλογότοξοι,
  Εἴπατε δ' ὧς· «Ἡμῖν σοί τε τί κοινὸν ἔνι;
Ἡμείων δὲ μελισσάων ἕστηκεν ὁ σίμβλος
  πρὸ κλιτίοιο παρ' ᾧ ἡμερὶς ὄσχον ἔχει·
Ἡμέας δ' Ἠλέκτωρ ὁπόταν τέκῃ, ἱπτάμεθ' αἶψα
  πᾶν ἐπὶ χάσμα ῥόδου, χείλεα καὶ σά, Πλάτων·
Κοπρογόνους ἄρα κόπρος ἔχοι· Σὺνυ δῦθι Νέρωνος
  ἄντρα καὶ ἐξώστην τοῦ ἐνάτου Καρόλου.
Σαρκοδακεῖς μὲν ὅταν μυίας ἐς ἁλουργίδα τὴν σὴν
  γράψον ἑκὼν· θεμιτὸν γράψαι Ὑμηττίδας οὔ.
Δάκνετε μὲν βδελυρὸν, προδότην δὲ τυφλώσατε [πᾶσαν,
  δειλὸν δ' ἠνορέῃ δῆμον ἐλέγχετ' ἄδην·
Τυτθαὶ οἱ χαλεπὴν ἐμμάξατ' Ἐριννύες ὀργήν·
  ὃν δὲ τρέουσ' ἄνδρες, πτηνὸν ἄκικυ, μέτει.

—o—

*Ἐκ τῶν τοῦ Βίκτωρος Οὐγὼ ᾀσμάτων*

## ΑΙ ΠΟΙΝΑΙ

(Β. Β. ζ'. ᾆσμ. ιε'. il est des jours objects.)

—

Φλαύραις ποθ' ὥραις, φαίνεθ' ἥσσων οὐδ' ἄγαν
τρυφῆς πανναίσχρου πόλις, ὅσον τ' εὐπραξίᾳ
συστῇ σέβουσα κοὐδὲν ἄλλο. Τότε δ' ὕπνῳ
δαμεὶς ὁ δῆμος οἰστυροῖς ὀνείρασι
πέποιθεν, ἀνδρῶν δ' οἴχεθ' ὡς ἐκ σφογγίου
ἀρετὴ ῥέουσα. Τότε δὲ μωρίαν ἅπας
κάκην τε τὴν ἄρχουσαν ἀνοσίως κυνεῖ,
ἀνέμοις πεφυκὼς ὥσπερ εἰκαθεῖν δόναξ,
μέλει δ' ἀθύρειν πᾶσι γἀστιφῇ, τὰ δὲ
τοῦ νοῦ τέθνηκε· πᾶς τις ἐμπίνει φαγών,
ᾄδει, χορεύει, κἀπὶ δυσκλείᾳ κομᾷ.
Ὁ μὲν εὐτυχήσας προσγελᾷ διακόνοις
μιαροῖς ἀλάστωρ, ἐν δὲ κάλπισι σποδὸς
προγόνων πέφρυκεν ἔργματ' οὐκ ἀνασχετά.
Σκάστει δ' ὑπ' οἴνου, νωθρὸς ὄψεις τόν τε νοῦν
ξένιός τ' ὀνείδει πᾶς. Ἐσάλπιγξεν δ' αἴφνω·
«Δῆμος κρατείτω νῦν πόλις τ' ἐλευθέρα!»
Εὐθὺς δ' ἐκείνης διάτορον κλαγγῆς μέλος
ὀρθὸν λεὼν ἵστησι, τοὺς χθὲς ὥσπεροῦν
μεθύσους ἀνίσχον ἡλίου φάος πτοεῖ. *)

*) ΣΗΜ. «ΠΑΡΘΕΝΩΝΟΣ.» Τὰ ἀνωτέρω δύο ποιήματα ἐγράφησαν διὰ τὸν «Παρθενῶνα» ὑπὸ Γάλλου σοφοῦ πολλὰ περὶ νεοελληνικῆς φιλολογίας γράψαντος, καὶ περὶ τὴν ἀρχαίαν ἑλληνικὴν γλῶσσαν καὶ φιλολογίαν ἐντριβεστάτου.

## ΣΠΟΥΔΑΙΟΝ ΠΑΡΟΡΑΜΑ.

Ἐν σ. 877 στ. β'. στ. 39 ἀντὶ Ἑλλήνων γρ. ἀγγείων.

## ΓΡΙΦΟΣ

1 

—

## ΛΥΣΙΣ ΤΟΥ ΕΝ ΤΩ Γ' ΦΥΛΛΑΔΙΩ ΓΡΙΦΟΥ

***Ἡ Ῥωσσία σκέπτεται ὑπὲρ τῶν συμφερόντων της ἐν τῇ Ἀνατολῇ.***

(Ἥρως—ΙΑ σκέπτεται—ὑπὲρ ΤΟΝ, σὺν (+) φέρον ΤΟΝ.—Τ.—ῆς ἐν τῇ Ἀνατολῇ.)

Τὸν γρῖφον τοῦτον ἔλυσεν ὁ κ. Θεοχάρης Ἠλιόπουλος.